Ε.Κ.Π.Α. – Φιλοσοφική Σχολή

Τμήμα Ιστορίας και Αρχαιολογίας

ΠΜΣ «Αρχαιολογία και Ιστορία του Αρχαίου Κόσμου»

Σεμινάριο: Ιδιωτικά σωματεία και συσσωματώσεις με επίκεντρο το γυμνάσιο στις αρχαίες ελληνικές πόλεις (2ος αιώνας π.Χ.-3ος αι. μ.Χ.)

Βασίλης Παπουτσάκης

# Οι Νέοι

## Περιεχόμενα

Εκπαίδευση ........ 2

Τιμές, Ευεργεσίες, Έσοδα ........ 7

Πολιτική Ομάδα ........ 12

- Αξιωματούχοι ........ 12
- Έκδοση αποφάσεων-διαδικασίες ........ 13
- Ανάδυση ομοσπονδιακών ταυτοτήτων; ........ 13

Σύγκρουση ........ 15

Βιβλιογραφία ........ 16

# Εκπαίδευση

Παιδεία, Στρατιωτική Εκπαίδευση, Πολιτική-Κοινωνική Εκπαίδευση

Χρήση τους από την πόλη: α)στρατιωτική, β)επίδειξη, γ)πολιτική

Samos 31
MDAI(A) 1919, 29-30, no. 14

[ἔδοξε τῶι δήμωι, γνώμη πρυτάνεων,]
[ὑπὲρ ὧν προεγράψαντο] Ἐπιφῶν
[—] Σ[τ]ạ ?σίλας Φιλίστου ὅπως
**[Ἐ]πικράτει Δημητρίου Ἡρακλεώτει**
**[π]εριπατητικῶι πλείονα χρόνον** ἐν
[τῆι] πόλει ἡμῶν **παρεπιδεδημηκό-**
**[τι κ]αὶ διὰ τῆς αὐτοῦ παιδείας πολ-**
**[λὰ] τοὺς νέους εὐεργετηκότι δοθῆι**
**[πολι]τεία** καθότι ἂν τῆι βουλῆι καὶ
[τῶι δή]μωι δόξει καὶ ἡ βουλὴ προεβούλευ-
[σεν ἐπεισά]γ
ειν ἐν ταῖς ἀρχαιρεσίαις·
[ἐπειδὴ Ἐπικ]ράτης Δημητρίου Ἡρακλε-
[ώτης περ]ιπατητικὸς πλείονα χρόνον
[παρεπιδε]δήμηκεν ἡμῶν ἐν τεῖ πόλει
[καὶ διὰ τῆς] αὐτοῦ **παιδείας** πολλὰ
[τοὺ]ς **νέους εὐεργέτηκεν** χαρίζεσ-
[θαι βο]υλόμενος καὶ ἰδίαι τοῖς ἀπαντῶ-
[σι τ]ῶν συσχολαζόντων ἑαυτῶι καὶ
**[κοιν]ῆι τῶι δήμωι μεταδιδοὺς ἀφθόνως**
**[τῆς] καθ’ αὑτὸν παιδείας τοῖς βουλομέ-**
**[νοις] μετέχειν τῶμ πολιτῶν** τοῖς τε
[μὴ] δυναμένοις τῶ[ν] δ[η]μοτῶν τελεῖν
[τὸν] ἐκκείμενον ὑφ’ αὐτοῦ μισθὸν προῖκα
[σχο]λάζων, **ὅπως οὖν καὶ ἡμεῖς φαινώμε-**

**[θα το]ὺς ἀγαθοὺς καὶ ἀξίους ἄνδρας**
**[καὶ δ]υναμένους ὠφελεῖν τῶν νέων**
[τοὺς] φιλομαθοῦντας προεστηκότ ạ [ς]
[τε β]ίου καὶ βίου δέοντας τιμῶν[τες,]
[δεδόχθαι] τῶι δήμωι· δοῦναι Ἐπ[ικράτει]

ISсM I 59
Scythia Minor — Istros-Histria — 2nd c. BC
[— — — — — — — — — — — — — — — — — — — —]
[— — — — — — — — — —] ἀρχὴν [— — — — —]
[— — — ἐν τῆι πρώτηι] ἡλικίαι **ἐπ[εμελήθη]**
[— — — — — — **τῆς τῶν] τε ἐφήβων καὶ [νέων]**
**[ἀγωγῆς καλῶς καὶ κοσ]μίως καὶ παρέσχεν ἔλα[ι]-**
**[ον** — — — — εἰς τὸν ὑ]πολιπῆ χρόνον τοῦ ἐ-

Ephesos 110
Keil & Maresch, JÖAI
45, 1960 Beibl. 85-88, no. 13; Robert, RPh 93, 1967, 7-14; *IEph 6 (PH).

A. **ἔ̣δοξεν τῆι βουλῆι καὶ τῶι δήμω̣ ι̣·** Μ̣ ίθρης Ἀστέου εἶπεν· **προ-**
**[γραψαμέ]νων̣** ε̣ἰς τ̣ὴν̣ β̣ ουλὴν τῶν ἀποδεδειγμένων **ὑπὸ**
**[τῶν νέων]** Ὀνη[σα]γόρου τοῦ Ἀρτεμιδώρου, Ἑρμ[οκρ]άτου τοῦ
[— κ]αὶ ὑπὲρ Ἀστυάνακτος τοῦ Χαρμολάου Ἀπο-
[—]ο[.] **ὑπὲρ τ̣ιμῶν Διοδώρωι Μέντορος ὅτ[ι]**
**[αἱρε]θεὶς [γ]υμνασίαρχ[ο]ς τῶν νέων** εἰς τὸν ἐνια̣ [υτὸν]
[τ]ὸ̣ν ἐπὶ Ἡρακ[λ]είτου [πρ]υ̣ τάνεως καλ̣ [—]
ἐν [τοῖς] κατὰ τὴν ἀρχὴν [.c.5.]ραφ η[—]
φ[..c.8...] ἐ̣α̣ υτὸν π̣ α̣ ρέχ ων π̣ ρ̣οσαξ
ι[—]
[—] καὶ τῆς [.c.6..] β̣ ουλ̣ῆς περι[—]
[—]οετο̣ [.] **ἐ̣λα̣ίου θ<έ>σεως ἐπεμελήθη** [—]
[—]ίου **οὐκ ἠμέλ̣ησεν δὲ οὐδὲ τῆς τῶν ν[έων]**
**[—] κ̣α̣ ὶ ε̣ὐκοσμίας α̣ ἰδῶ παρασκευάζων̣**
**[—]ου καταστολῆς καὶ σωφροσύνης τὴν ανα-**
**[στ]ρ̣ [ο]φ ὴν ποιούμενος** διὰ παντὸς ἐν τῶι τόπ̣ ωι, προ-
[ενό]η σ̣ εν δὲ καὶ τῆς **τῶν νέων εὐανδρίας προτρεπόμενο[ς]**
[αὐ]τοὺς πρός **τε τὰ γυμνάσια καὶ φιλοπονίαν σωματι-**
**κήν τ̣ε κ̣αὶ ψυχικὴν** περὶ πλείστου ποιούμενος ἕνεκεν τοῦ
καὶ λόγωι καὶ ἔργωι συνεπαυξηθῆναι τὸ τῶν νέων ἀξίωμα
πρεπόντως τῆι τε περὶ τὸν τόπον διὰ προγόνων ὑπαρχούση [ι]

σεμνότητι καὶ δόξη{ς} τῶν τε λοιπῶν τῶν κατὰ τὸ γυμνάσιον <ἐ>π[ε]-

μελήθη μισοπονήρως τε καὶ φιλαγάθως, ἐν οὐθενὶ ἐνλείπων τῶ[ν]
πρὸς τιμὴν καὶ δόξαν ἀνηκόντων χάριν τοῦ μνήμης ἀξίαν κα[ὶ ἐ]-
π̣ αίνου καταστῆσαι τὴν οὖσαν περὶ αὐτὸν αἵρεσιν πρὸς τὰ καλλ[ισ]-
τα· ἀνθ’ ὧν **οἱ ἔφηβοι καὶ οἱ νέοι τὰς καταξίας προαιρούμενοι κατατ[ί]-**
**θεσθαι χάριτας ἔκριναν ἐπισήμου τιμῆς, ἀξιώσαντες στῆσαι α[ὐ]-**

**τ̣οῦ ἀνδριάντα ἐν τῶι γυμνασίωι, προτρεπόμενοι πάντας**
**ζηλωτὰς γίνεσθαι τῶν καλλίστων πράξεων**, ἀποδείξ[αν]-
τες ἄνδρας τοὺς προγραψ<ο>μένους ὑπὲρ τῶν τιμῶν, [οἵ]
30 **καὶ ἐπελθόντες ἐπὶ τὸν δῆμον ἐνεφάνισαν περὶ τού-**
**των**· καὶ ὁ δῆμος ἐπεγνωκὼς τὴν τἀνδρὸς φιλοδοξία[ν]
τε καὶ δικαιοσύνην καὶ τὴν γεγενημένην ἐξ αὐτοῦ π[ε]-
ρὶ τὸ γυμνάσιον ἐν πᾶσι τοῖς κατὰ τὴν ἀρχὴν σπουδήν τ̣ [ε]
[κ]α̣ ὶ ἐπιμέλειαν συνκατέθετο τοῖς παρακαλουμένοις·
35 ὅπως οὖν σταθῇ Διοδώρου ἀνδριὰς ἐν τῶι γυμνασίωι πρ[ὸ]
τῆς στοᾶς τῆς κειμένης πρὸς ἀνατολὴν καὶ [ἐ]π̣ ιγρα̣ [φῇ]
[ἐ]πὶ τῆς βάσεως [—]
B.1 Λύκος πρύτανις.

## IK Sestos 1

[ ]Thr. Chersonesos — Sestos (Akbaş): Yalova — 133-120 BC — Dumont-Homolle (1892) 451,111c(7) — OGIS 339

…
30 ξένων, περιτιθεὶς τὴν ἐκ τῶν ξένων εὐφημίαν τῆι πατρίδι· ννν **γυμνασί-**
**αρχός τε αἱρεθεὶς τῆς τε εὐταξίας τῶν ἐφήβων καὶ τῶν νέων προενοήθη,**
**τῆς τε ἄλλης εὐσχημοσύνης τῆς κατὰ τὸ γυμνάσιον ἀντελάβετο καλῶς** κα̣[ὶ]
φιλοτίμως, ννν κατεσκεύασεν δὲ τόν τε λουτρῶνα καὶ τὸν ἐφ[ε]-
ξῆς οἶκον, ἀνέθηκεν δὲ καὶ ἄγαλμα λευκοῦ λίθου, τά τε ἐλλείποντα καὶ ὄντα ἀ-
35 ναγκαῖα προσκατεσκεύασεν· ν ἔν τε τοῖς γενεθλίοις τοῦ βασιλέως καθ’ ἕκαστον
μῆνα θυσιάζων ὑπὲρ τοῦ δήμου, **διαδρομὰς ἐτίθει τοῖς τε ἐφήβοις καὶ τοῖς**
**νέοις, συνετέλει δὲ καὶ ἀκοντισμοὺς καὶ τοξείας, ἐτίθει δὲ καὶ ἐπαλείμ-**
**ματα** διὰ τῆς ἑαυτοῦ φιλοδοξίας, **προτρεπόμενος εἰς ἄσκησιν καὶ φιλο̣-**
**πονίαν τοὺς νέους**, ἀνθ’ ὧν ὁ δῆμος, ἀποδεχόμενος αὐτοῦ τὸ φιλόσπουδον κα̣ὶ
40 ἐκτενές, συνεχώρησεν μὲν αὐτῶι τὰς ἐπιγραφάς, ἠξίωσεν δὲ ἐπαίνου διὰ
τῶν ψηφισμάτων, **οἵ τε ἔφηβοι καὶ οἱ νέοι ἐστεφάνωσαν αὐτόν τε καὶ τὸν**
**ἐ̣φήβαρχον**, ὧν ἀποδεξάμενος τὴν τιμὴν τῆς δαπάνης αὐτοὺς παρέλυσεν, τὰς
δὲ τῶν ὅπλων ἀναθέσεις ἐκ τῶν ἰδίων ἐποιήσατο· ν τοῦ τε δήμου προελομ̣έ-
…
53 καίως τὰς ἐνχειριζομένας αὐτῶι πίστεις· ννν τό τε **δεύτερον παρακλη-**
**θεὶς γυμνασιαρχῆσαι ὑπέμεινεν ἐν καιροῖς δυσκόλοις, τεθλειμμένων ἡμ[ῶν]**
**55 ἐ̣ξ ἐτῶν πλειόνων διά τε τὰς Θραικίους ἐπιδρομὰς** καὶ τοὺς περιστάντας τὴν
πόλιν πολέμους, ἐν οἷς ἀπήχθη μὲν τὰ ἀπὸ τῶν ἀγρῶν πάντα, ἄσπορος δὲ ἡ πλε[ίσ]-
τη χώρα ἐγένετο· αἵ τ’ ἐπιγενόμεναι κατὰ τὸ συνεχὲς ἀφορίαι τοῦ σίτου εἰς ἀπορί-
αν κατὰ κοινόν τε τὸν δῆμον ἤγαγον, καθ’ ἰδίαν τε ἕκαστον τῶν πολιτῶν· ν ἔν[θα]
κ̣αὶ Μηνᾶς ἐν πολλοῖς τεθλειμμένος, πάντα δὲ ταῦτα παραιτησάμενος τῶι θεω-
60 [ρ]εῖν τὸν δῆμον εὐχάριστον ὄντα καὶ τιμᾶν τοὺς ἀγαθοὺς ἄνδρας ἐπιστάμενον
[ὑ]περέθετο ἑαυτὸν ταῖς τε δαπάναις καὶ τῆι λοιπῆι φιλοδοξίαι· εἰσελθὼν γὰρ εἰς
τ̣ὴν ἀρχὴν τῆι νουμηνίαι, **συνετέλεσεν μὲν θυσίας τῶι τε Ἑρμεῖ καὶ τῶι Ἡρακλε̣[ῖ]**
**τ̣οῖς καθιδρυμένοις ἐν τῶι γυμνασίωι θεοῖς, ὑπὲρ τῆς τοῦ δήμου καὶ τῆς τῶν νέων σωτη-**
**ρίας, ἐπετέλεσεν δὲ καὶ διαδρομὰς καὶ θέσεις ἀκοντισμοῦ καὶ τοξείας**, τῆι δ̣ὲ ἐχομ[έ]-
65 νηι καλλιερήσας ἐκάλεσεν ἐπὶ τὰ ἱερὰ οὐ μόνον τοὺς μετέχοντας τοῦ ἀλείμματος,
ἀλλὰ καὶ τοὺς λοιποὺς πάντας, ποιούμενος τὴν μετάδοσιν τῶν ἱερῶν καὶ τοῖς ξέ-
νοις· ν καθ’ ἕκαστόν τε μῆνα ἐπιτελῶν τὰς πρεπούσας θυσίας ὑπὲρ τῶν νέων τοῖς
π̣ροεστηκόσιν τοῦ γυμνασίου θεοῖς φιλαγάθως καὶ μεγαλομερῶς ἐχρῆτο, **τιθεὶς ἀ-**
**κ̣οντισμούς τε καὶ τοξείας καὶ διαδρομὰς ἐπιτελῶν, μεταδιδοὺς μὲν τοῖς νέοις τῶν**
**70 κ̣αλλιερουμένων ὑφ’ ἑαυτοῦ ἱερῶν, προτρεπόμενος δὲ διὰ τῆς τοιαύτης φιλοδοξία[ς]**
**[π]ρὸς ἄσκησιν καὶ φιλοπονίαν τοὺς νέους**, ἐξ ὧν αἱ τῶν νεωτέρων ψυχαὶ πρὸς ἀνδρείαν ἁμιλλώμε-
ν̣αι καλῶς ἄγονται τοῖς ἤθεσιν πρὸς ἀρετήν, μετεδίδου δὲ τοῖς ἀλειφομένοις τῶν ἱερῶν
[τ]ῶν ἀπὸ τοῦ ἀλείμματος εἰς οἶκον, κοινὴν ποιούμενος τὴν φιλανθρωπίαν καὶ τοῖς ξένο̣[ις]
[τ]οῖς μετέχουσι τοῦ ἀλείμματος, προσηνέχθη δὲ φιλανθρώπως καὶ τοῖς τὰς ἀκροάσει[ς]

ποιησαμένοις πᾶσιν, βουλόμενος καὶ ἐν τούτοις διὰ τῶν πεπαιδευμένων τὸ ἔνδοξον π̣[ε]ριτιθέναι τῆι πατρίδι, **ἐπεμελήθη δὲ καὶ τῆς τῶν ἐφήβων καὶ νέων παιδείας** τῆς τε λοιπῆ[ς] εὐσχημοσύνης τῆς κατὰ τὸ γυμνάσιον προενοήθη, ἐχορήγησεν δὲ καὶ ξύστρας καὶ ἐπαλείμματα ἔθηκεν, **συνετέλεσεν δὲ καὶ ἀγῶνα τῶι Ἑρμεῖ καὶ Ἡρακλεῖ ἐν τῶι Ὑπερβερεταίωι μ[ηνί], τιθεὶς ἆθλα πάντων τῶν ἀθλημάτων τοῖς τε νέοις καὶ τοῖς ἐφήβοις ὅπλα ἐπίσημα ἐνδεδεμένα̣ ἐν ὁπλοθήκαις, ἐφ’ ἃ ἐπιγράψας τοὺς νικήσαντας τὴν ἀνάθεσιν αὐτῶν παραχρῆμα ἐν τῶι γυ**μνασίωι ἐποιήσατο, ἔθηκεν δὲ καὶ δευτερεῖα θέματα, ἔθηκεν δὲ καὶ παισὶν ἆθλα καὶ ὁπλομαχία[ς] θέματα ἐφήβοις τε καὶ ἀνδράσιν, ὁμοίως δὲ καὶ διατοξείας καὶ διακοντισμοῦ· v ἔθηκεν δὲ κα[ὶ] ὅ̣πλα μακροῦ δρόμου καὶ εὐταξίας καὶ φιλοπονίας καὶ εὐεξίας, συντελέσας δὲ καὶ θυσίαν τοῖς προγεγραμμένοις θεοῖς καὶ κατατροχάσας τὴν εὐανδρίαν κατὰ τὸν νόμον, ἐκάλεσεν ἐπὶ τὰ̣ ἱερὰ τοὺς ἀλειφομένους πάντας **καὶ τοὺς ξένους τοὺς μετέχοντας τῶν κοινῶν**, λαμπρὰν ποιησάμενος τὴν ὑποδοχὴν καὶ ἀξίαν τῶν θεῶν καὶ τοῦ δήμου· vv ἵνα οὖν καὶ ὁ δῆμος φαίνηται τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν τιμῶν καὶ **τοὺς ἀπὸ τῆς πρώτης ἡλικίας φιλοτί̣μους γινομένους περὶ τὰ κοινὰ καὶ φιλοδοξεῖν προαιρουμένους ἀποδεχόμενος καὶ ἐν χάριτος [ἀ]π̣οδόσει μὴ λείπηται**, **v θεωροῦντές τε καὶ οἱ λοιποὶ τὰς περιγινομένας τιμὰς ἐκ τοῦ δήμου τοῖς καλοῖς καὶ ἀγαθοῖς, ζηλωταὶ μὲν τῶν καλλίστων γίνωνται, προτρέπωνται δὲ πρὸς ἀρετὴ̣ν**, ἐ̣παύξηται δὲ τὰ κοινὰ παρορμωμένων πάντων πρὸς τὸ φιλοδοξεῖν καὶ περιποιούντων ἀεί τι τῆι̣ πατρίδι τῶν καλῶν· v τύχηι τῆι ἀγαθῆι δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμωι, ἐπ̣ηνῆσθαι Μηνᾶν Μένητος ἐπί τε τοῖς προγεγραμμένοις πᾶσιν καὶ ἐφ’ ἧι ἔχων εὐνοίαι διατελεῖ πρὸς τὸν δῆμον, συνκεχωρῆσθαι δὲ αὐτῶι καὶ τὴν τῶν ὅπλων ἀνάθεσιν ἐπιτελέσαι ποιουμένωι τὰς ἐπιγραφὰς καὶ **ὅτι ἐστεφάνωται ὑπό τε τῶν ἐφήβων καὶ τῶν νέων, στεφανοῦσθαι δὲ αὐτὸν καὶ ὑπὸ τοῦ δήμου** ἀνὰ πᾶ[ν] ἔ̣τος τῆς πανηγύρεως ἐν τῶι γυμνικῶι ἀγῶνι χρυσῶι στεφάνωι, τὴν ἀναγόρευσιν τοῦ κήρυκος ποιουμένου κατὰ τάδε· ὁ δῆμος στεφανοῖ Μηνᾶν Μένητος γυμνασιαρχήσαντα δὶς καλῶς κα̣[ὶ] φιλοδόξως ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς ἑαυτόν. vv στῆσαι δὲ αὐτοῦ καὶ εἰκόνα χαλκῆ̣ν [ἐ]ν τῶι γυμνασίωι, ἐφ’ ἧς ἐπιγραφήσεται· **ὁ δῆμος καὶ οἱ νέοι** Μηνᾶν Μένητος γυμνασιαρχήσαν̣[τ]α δὶς καλῶς καὶ φιλοδόξως καὶ ἀγαθὸν ἄνδρα γεγονότα περὶ τὸν δῆμον. καλεῖσθαι δὲ αὐ[τ]ὸν καὶ ἐκγόνους εἰς προεδρίαν ἐν π̣ᾶσι τοῖς ἀγῶσιν, οἷς ἂν ἐπιτελῆι ὁ δῆμος, ποιεῖσθαι δὲ τοῦ στεφάνου τὴν ἀνάρρησιν τὸν κατ’ ἐνιαυτὸν γινόμενον {ον} ἀγωνοθέτην. vv ἐπεὶ δὲ β̣ουλόμενος διὰ τὴν ὑπάρχουσαν περὶ τὰ κοινὰ στενοχωρίαν χαρίζεσθαι καὶ ἐν τούτοις τῆι πόλει ἀναδέχεται ἐκ τῶν ἰδίων τὸ ἀνήλωμα τὸ εἰς τὸν ἀνδριάντα, προνοηθήτωι ἵνα ὡς κάλλιστος σταθῆι, ἀναγραψάτωι δὲ καὶ εἰς στήλην λευκοῦ λίθου τόδε τὸ ψήφισ̣μα καὶ στησάτωι εἰς τὸ γυμνάσιον.

# IG II$^2$ 1006

…

που Παιανιεὺς καὶ συν<πρό>εδροι· ἔδοξεν τῆι βουλῆι καὶ τῶ[ι] δήμωι· vvvvv Ἀφροδίσιος Ἀφροδισίου Ἀζηνιεὺς εἶπεν· **ἐπειδὴ οἱ ἔφηβοι** οἱ ἐπὶ Δημητρίου ἄρχοντος **θύσαντες ταῖς ἐγγραφαῖς ἐν τῶι πρυτανείωι** ἐπὶ τῆς κοινῆς ἑστίας τοῦ δήμου μετά τε τοῦ κοσμ[η]τοῦ καὶ τοῦ ἱερέως τοῦ Δήμου καὶ τῶν Χαρίτων καὶ τῶν ἐξηγητῶν κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τοῦ δήμου ἐπόμπευσαν τῇ Ἀρτέμιδι τῇ Ἀγρο-τέραι, ἀπήντησαν δὲ καὶ τοῖς ἱεροῖς καὶ προέπεμψ[α]ν αὐτά, ὁμοίως δὲ καὶ τὸν Ἴαχχον· **ἤραντο δὲ καὶ τοὺς βοῦς το[ὺς] ἐν Ἐλευσῖνι τῆι θυσίαι καὶ τοῖς Προηροσίοις καὶ τοὺς ἐν τοῖς ἄλλοις ἱεροῖς καὶ γυμνασίοις καὶ τοὺς δρόμους συνετέλε-[σ]αν, συνεπόμπε[υ]σαν δὲ καὶ τὰς πομπὰς καὶ τὰς λαμπάδας ἔδραμον τὰς καθηκούσα**ς· συνεξήγαγον δὲ καὶ τὴν Παλλάδα Φαληροῖ κἀκεῖθεν πάλιν συνεισήγαγον **μετὰ φωτὸς μετὰ πάσης εὐκοσμίας**, εἰσήγαγον δὲ [κ]αὶ τὸν Διόνυσον ἀπὸ τῆς ἐσχά-ρας εἰς τὸ θέατρον μετὰ φωτὸς καὶ ἔπε[μ]ψαν τοῖς Διονυσίοις ταῦρον ἄξιον τοῦ θεοῦ ὃν **καὶ ἔθυσαν** ἐν [τ]ῶι ἱερῶι τῆι πομπῆι· ἐφ’ ᾧ **καὶ ἐστεφανώθησαν ὑπὸ τοῦ δήμου**· συντ[ελ]ουμένης δ[ὲ] καὶ τῆς θυσίας τῆι Ἀθηνᾶι τῆι Νίκῃ συνεπόμπευσαν καλῶς καὶ εὐσχημό-νως βοῦν συνπέμψα[ν]τες ἣν καὶ **ἔθυσαν ἐν ἀκροπόλει** τῇ[ι θ]εῶι, συνετέλεσαν δὲ **καὶ τὰς ἄλλας θυσίας** τὰς καθηκούσα[ς τοῖς θε]-οῖς καὶ τοῖς εὐεργέτ[αι]ς ἀκολούθως τοῖς τε νόμοις καὶ τοῖς [ψηφίσ]μασιν· διετέλεσαν δὲ καὶ εἰ[ς] τὰ γυμνάσια δι’ ὅ[λο]υ το[ῦ ἐνιαυτοῦ] παραγινόμενοι καὶ **τῶι κοσμητῆι πιθαρχοῦντες, μέγιστον [δὲ νομίσαν]τες καὶ ἀναγκαιότατον εἶνα[ι] τὴν εὐταξίαν** πε[ριποι]ῆσαι τῶν **ὑπὸ τοῦ δήμου προστεταγμένων μαθ[η]μάτων ἀνένκλητο[ι δι]ετέλεσαν γεγονότες καὶ πειθαρχοῦντε[ς] το[ῖς παραγγε]λλομένοις ὑπό τε τοῦ κοσμητοῦ καὶ τῶν διδασ[κάλ]ων**· προσεκαρτ[έ]ρησαν δὲ καὶ Ζηνοδότωι σχολ[άζ]οντε[ς ἔν τε] τῶι Πτολεμαίωι καὶ **ἐν Λυκείωι, ὁμοίως δὲ καὶ τοῖς ἄλλοις [φιλο]σόφοις ἅπασι[ν] τοῖς τε ἐν Λυκείωι καὶ ἐν Ἀκαδημ[ίαι δι’ ὅλου τοῦ ἐ]νιαυτοῦ· ἐφήδρευσαν** δὲ καὶ ταῖς ἐκ<κ>λησίαις ἐν ὅπλοις ε[ὐτάκτ]ως· ἀπήντων δὲ διὰ παντὸς τοῖς παραγ[ε]ινομ[ένοις φίλοις] καὶ εὐεργ[έ]ταις Ῥωμαίοις· ἐποιήσαντο δὲ καὶ τοῖς Ἐπιταφίοις δρό[μο]ν ἐν ὅπλοις τόν τε ἀπὸ τοῦ πολυανδρείου καὶ τ[οὺς ἄλλους] τοὺς καθή[κοντα]ς, καὶ ἀπε-δείξαντο ἐν τοῖς ὅπλοις τοῖς τε Θησείοις καὶ Ἐπιταφίοις· ἔδωκαν δὲ καὶ εἰς τὴν φι[άλην τῆι μητρὶ] τῶν θεῶν τ[οῖ]ς ἐπὶ [τα]ῦτα καθεσταμένοις κατὰ τὸ ψήφισμα τοῦ δήμου δραχμὰς ἑβδομήκοντα καὶ προσανέθηκαν ἑτέ[ραν ἐν τῶι] ἐν Ἐλευσῖνι ἱερῶι· ἐξῆλθο[ν δὲ] **καὶ ἐπὶ τὰ τῆς Ἀττικῆς ὅρ[ι]α ἐν ὅπλοις καὶ τῆς τε χώρας καὶ τῶν ὁδῶν ἔμπειροι ἐγένοντο, εἴς [τε — — — παρεγένον]το καὶ τὰ ἱερὰ τὰ κατὰ τὴν χώραν** ἐν οἷς διετέλουν θύοντες καὶ καλλιεροῦντες ὑπὲρ τοῦ δήμου· πα[ρ]αγενόμενοι δὲ [ἐπὶ τὸ ἐμ Μαραθῶνι πολυ]άνδρειον ἐστεφάνωσάν τε καὶ ἐνήγισαν τοῖς κατὰ πόλεμον τελευτήσασιν ὑπ[ὲ]ρ τῆς Ἐλευθερίας, παρε[γ]ένο[ντο] δ[ὲ καὶ εἰς τὸ Ἀμφιάραον καὶ **ἱ]σ[τόρησαν] τὴν γεγονεῖαν ἐκ παλαιῶν χρόνων ὑπὸ τῶν πατέρων τοῦ ἱεροῦ** [κ]υριείαν καὶ θ[ύ]σαντες ἀπῆ[λ]θον αὐθ[ημερεὶ εἰς τὴν ἑαυτῶν χώρ]αν· ἀνέπλευσαν δ[ὲ καὶ] ἐπὶ τρόπαιον καὶ ἔθυσαν τῶι Διὶ τῶι Τρο-[πα]ίωι καὶ τῆι πομπεῖ τῶν μεγάλων θεῶν ἐποιήσαντο τ[ῶν πλοίων τὴν ἅμιλλαν· π]εριέπλευσαν δὲ καὶ [τοῖς Μου]νιχίοις εἰς τὸν λιμένα τὸν ἐμ Μου-

[νιχίαι ἁμ]ιλλώ[μεν]οι. ὁμ[ο]ίως δὲ καὶ τοῖς Διϊσωτηρίοι[ς]· ἀπ[έπλευσαν δὲ καὶ ἐπὶ τὰ Αἰ]άντεια κἀκεῖ [π]οιησάμ[ενοι ἅμ]ιλλαν τῶν πλοίων καὶ πομπεύ-

[σαντε]ς καὶ θύσαν[τες τ]ῶι **Αἴαντι ἐπῃνέθησαν ὑπ[ὸ τοῦ δήμου τοῦ Σαλαμινίω]ν καὶ ἐστεφ[αν]ώθησ[αν] χ[ρ]υσῶι σ[τεφά]νῳ ἐπὶ τῶι εὐτάκτως καὶ**

**[εὐσ]χημόνως πεποιῆσθ[αι] τὴν ἐπιδ[η]μίαν· [σ]υν[ετήρησαν δὲ καὶ τὴν πρὸς ἀλλήλ]ους ὁμόνο[ια]ν καὶ φιλίαν** ἐν ὅλωι τῶι [ἐνιαυτ]ῶι **ἀστασίαστοι γενόμε-**

**[νοι** κ]ατὰ τὴν τοῦ κοσμητ[ο]ῦ προαίρ[εσιν· **ἐποι]ήσαντο [δὲ καὶ τὴν ὑπόδειξιν τῆι βου]λῆι** τὴ[ν] καθήκουσαν κατὰ τὸν νόμον· φιλαγ[άθως] δὲ ἔχοντες πρὸς

[ἅ]παντα τὰ καλὰ καὶ βουλ[όμ]ε[νοι] τῆι τοῦ κοσμητοῦ [προαιρέσει ἀκολούθως **πράττειν ἐπὶ τῶ]ι τῆς πόλεως συμφέροντι καὶ τῶι ἑαυτῶν [εὐσχ]ήμονι καταπάλ-**

**την λιθοβόλον ἕνα τῶν ἀρ[χαίων ἐ]κ τῶν ἰδίων ἐθερά[πευσαν καὶ τὰ ἐλλείπον]τα προσκατασκευάσαντες ἀνενεώσαντο διὰ πλειόνων ἐτ[ῶν]**

τήν τε χρῆσιν τοῦ ὀργάνο[υ καὶ μάθησιν], ἀνέμαθόν τε τὴν τ — — — — — καὶ τὴν μελέτην ἐποιοῦντο· διετέλεσαν δὲ καὶ ἐν τοῖς λοιποῖς

ἀνεγκλήτως ἀναστρεφ[όμενοι κ]αὶ φροντίζοντες ṭ— — — — — — —ạ τοῖς ἰδίο[ις ....]ις· **ὅπως οὖν ἥ τε βουλὴ καὶ ὁ δῆμος φαίνωνται τιμ[ῶν]-**

**τες τοὺς ἀξίους καὶ πειθ[αρχοῦν]τας τοῖς τε νόμοις [καὶ τοῖς ψηφίσμα]σιν καὶ τῶ[ι κοσμητ]εῖ ἐκ τῆς πρώτης ἡλικίας· ἀγαθῆι τύχηι δεδόχθαι** [τῆι]

βουλῆι τοὺς λαχόντας π[ροέδρου]ς εἰς τὴν ἐπιοῦσαν [ἐκκλησίαν χ]ρη[μ]ατίσαι περὶ τούτ[ων, γν]ώμην δὲ ξυμβάλλεσθαι τῆς βουλῆς εἰς τὸν

δῆμον ὅτι δοκεῖ τῆι βουλ[ῆι, **ἐπα]ινέσαι τοὺς ἐφήβο[υς τοὺς ἐπ]ὶ Δημητρίου ἄρχοντος [καὶ στ]εφανῶσαι αὐτοὺς χρυσῶι στεφάνωι εὐσεβεί-**

**ας** ἕνεκεν τῆς πρὸς τοὺς [θεοὺ]ς **καὶ εὐταξίας [ἧς ἔχοντ]ες διατετελέκασιν ἐν ὅλωι τῶι ἐνιαυτῶι καὶ φιλοτιμίας τῆς εἰς τὴν βου-**

**λὴν καὶ τὸν δῆμον**, καὶ ἀνει[πεῖ]ν τὸν στέφανο[ν τοῦτον] Διονυσίων τε τῶν ἐν ἄστει καινοῖς τ[ραγωιδοῖ]ς καὶ Παναθηναίων καὶ Ἐλευσι-

νίων τοῖς γυμνικοῖς ἀγῶσ[ιν]· τῆς δὲ ἀναγορ[εύσεω]ς τοῦ στεφάνου ἐπιμεληθῆναι τοὺς στ[ρατη]γοὺς καὶ τὸν ταμίαν τῶν στρατιω-

⟦τιω⟧ τικῶν {[26]στρατιωτικῶν}[26]. **ἐπαινέσαι δὲ καὶ τοὺς διδασκά[λου]ς** τόν τε **παιδοτρίβην** Τίμωνα Τιμάρχου Βουτάδην καὶ τὸν **ὁπλομάχον** Σάτυρον Ἡρα-

κλείδου Κηφισιέα καὶ τὸν **[ἀκο]ντιστὴν** Νίκανδ[ρο]ν Δημητρίου Ε[ὐ]ωνυμέα καὶ τὸν **τοξότην** Ἀσκληπιάδην Ἀριστοκράτους Μαραθώνιον

καὶ τὸν **καταπαλταφέτη[ν]** Καλχηδόνα Καλχ[η]δόνος Περιθο[ί]δ[η]ν καὶ τοὺς **ὑπηρέτας** Σάτυρον Ἀπολλωνίου Ἁλιμούσιον, Ἱέρωνα

Ἡρακλείδου Ἀναγυράσιο[ν], Ἀθήναιον Ἰσιδώρου Ἁλαιέα καὶ στεφανῶσαι ἕκαστον αὐτῶν θαλλοῦ στεφάνωι. ἀναγράψαι δὲ τόδε τὸ ψή-

φισμα τὸν γραμματέα τ[ὸ]ν κατὰ πρυτανεί[α]ν ἐν στή[λαις] λιθίναις δυσὶν καὶ στῆσαι μίαν μὲν ἐν ἀγοραῖ, τὴν δ' ἑτέραν οὗ ἂν ἐπιτήδειον

εἶναι φαίνηται, εἰς δὲ τὴ[ν ἀν]αγραφὴν καὶ τὴν ἀνάθε[σιν] τῶν στηλῶν τὸ γενόμενον ἀνάλωμα μερίσαι τὸ[ν ταμία]ν τῶν στρατιωτικῶν.

ἐπὶ Νικοδήμου ἄρχοντος ἐπὶ [τ]ῆς Ἀντιοχίδος τετ[άρ]της πρυταν[ε]ίας, ἧι Ἐπιγένης Ἐπιγένου Οἰναῖος ἐγραμμάτευεν· Πυαν[οψιῶνος] ἑνδεκάτηι, δεκάτηι

τῆς πρυτανείας· ἐκκλη[σία] κυρία ἐν τῶι θε[άτ]ρωι· τῶν προέδρων ἐπεψήφιζεν Θεοτέλης Εὐκλείδου Θριάσιος καὶ συ[νπρόε]δροι· ἔδοξεν τῆι βου-

λῆι καὶ τῶι δήμωι· Ἀφροδ[ί]σιος Ἀφροδισίου [Ἀζ]ηνιεὺς εἶπεν· ἐπειδὴ διὰ παντὸς ὁ δῆμος τὴν πλείστην σπουδ[ὴν ποι]εῖται τῆς **τῶν ἐφή-**

**βων ἀγωγῆς καὶ εὐταξίας βουλόμενος το[ὺ]ς ἐκ τῶν πα[ί]δων μεταβαίνοντας εἰς τοὺς ἄνδρας** ἀγαθοὺς γίνεσθαι τῆς πατρίδος **διαδ[ό]-**

**χους καὶ προσέταξεν διὰ τῶν νόμω[ν] τ[ῆ]ς τε χώρας κα[ὶ] τῶν φρουρίων καὶ τῶν ὁρίων τῆς Ἀττικῆς ἐμπείρους γίνεσθαι ἔν τε τοῖς ὅπλοις**

**τὴν εἰς πόλεμον ἀνήκουσαν ἄσκησι[ν ποιεῖ]σθαι, καὶ διὰ τὴν τοιαύτην ἀγωγὴν καλλίστοις καὶ σεμνοτάτοις τροπαίοις τὴν πόλιν ἐστεφά[νω]-**
**σεν**, δι’ ἣν αἰτίαν καὶ κοσμη[τ]ὴν καθίστησ[ιν ἐκ] τῶν ἄριστα βε[βι]ωκότων, ἐφ’ οἷς κα[ὶ] ὁ κατασταθεὶς κοσμητὴς Διονύσιος Σ[ω]κράτου Φυλάσιο[ς]
εἰς τὸν ἐνιαυτὸν τὸν ἐπὶ Δημητρίου ἄρχοντος παραλαβὼν τ[ὴν ἐγ]χειρισθεῖσαν ἑαυτῶι πίστιν ***ὑπὸ τοῦ δήμου τῶν ἐφήβων*** ἔθυσεν ἐ[ν τ]αῖς
ἐγγραφαῖς μετ’ αὐτῶν ἐπὶ τῆς κοινῆς ἑστίας κατὰ τὰ πάτ[ρια, ἐ]πόμπευσεν δὲ καὶ τῇ Ἀρτέμιδι τῆι Ἀγροτέραι· μέγιστον δὲ νομ[ίσ]ας
εἶναι κόσμον τῆι πατρίδι τὴ[ν] εὐταξίαν αὐτῶν καὶ ἀνδρείαν [κ]α[τε]σκεύασεν αὐτὸν ἄξιον τῆς τοῦ δήμου προαιρέσεως πρέπουσαν ἑαυ-
τῶι ἀγωγὴν ποιησάμενο[ς] καὶ ἀξίαν τ[ο]ῦ [τ]ε δήμου καὶ αὐτῶν τῶν ἐφήβων, ἄγων αὐτοὺς δι’ ὅλου τοῦ ἐνιαυτοῦ εἰς τὰ γυμνάσια κα[ὶ] ποιού-
μενος αὐτῶν πᾶσι φανε[ρὰ]ν τὴν ἐπιστ[ασ]ίαν καὶ τὸ πρέπο[ν] συντηρῶν καὶ ἀν[ε]γκλήτους αὐτοὺς πα[ρεχόμενος]. ἐν ὅλῳ τῶι ἐνιαυτῶι καὶ πει-
…
[μεληθῆναι τοὺς στρ]ατηγούς· ἐπικεχωρῆσθαι δὲ Διονυσίωι καὶ τ[ὴν ἀνάθεσιν τῆς εἰκόνος ποιήσασθαι ἧι **ἐστεφάνω]σαν αὐτὸν οἱ ἐφηβεύσαντες** οὗ
**[οἱ νόμοι οὐκ ἀπαγορεύου]σιν**· εἶναι δὲ αὐτῶι καὶ ἄλλο ἀγαθὸν [εὑ]ρέσθ[αι παρὰ τοῦ δήμου οὗ ἂν] δοκῇ ἄξιος εἶναι. ἀναγράψαι

## Τιμές, Ευεργεσίες, Έσοδα

SEG 30:546, Amphipolis — late 2nd/early 1st c. BC

ἔτους [— —]αιμ
**οἱ νέο[ι — — —]**
ἐπεὶ Φίλιππος [— — —ου]
**ὁ γυμνασίαρχ[ος αἱρεθεὶς]**
**[τ]ὴν ἀρχὴν** ἐπ[εχείρησε τῆι αὐ]-
τοῦ **φιλαγαθίαι [καὶ προθυμίαι]**
**ποιῆσαι φανε[ρωτέραν**· κατὰ τὴν]
πρώτην τρίμη[νον — — — — — —]-
μένου τοῦ π[— — — — — — — — — —]
κοινῶν προσ[όδων — — — — — — ]
μὴ διαποιεῖν [— — — — — — — — —]
ἐνεχθέντος [— — — — — — — — — —]
τῶν ἀπὸ τοῦ [— — — — — — — — —]
τὸ ἔλαιον τὸ [— — — — — — — — —]
ει χρόνον ἀλείφ[ειν — — — — —]
ἀχθέντος πλή[θους — — — — —]
ἐπιδοὺς τὴν [λείπουσαν μοῖραν?]
ἐλλείποντος [δὲ καὶ — — — — —]
ἐπέδωκεν πα[ρ’ ἑαυτοῦ· ἄλλως δὲ ἐ]-
**ποίησεν τὰ δί[καια ὑπὲρ τὸ προσδε]-**
**χόμενον ποιούμ[ενος τὴν τῶν νέων]**
**προστασίαν**, τ[ὴν δὲ κατὰ τὸ γυ]-
μνάσιον ἐπι[μέλειαν· κατὰ δὲ τὴν]
ἐχομένην τρί[μηνον τὸ δεύτερον ἐ]-
**χορήγει τὸ ἄλε[ιμμα ἐκ τῶν ἰδίων ὑ]-**
**πομείνας τὸ ἀ[νάλωμα**, ἔτι δὲ γνησί]-
ως καὶ μεγαλ[ομερῶς πᾶν τὸ μερισ]-
θὲν αὐτῶι ἐκ τ[ῶν δημοσίων διάφο]-
ρον εἰς τὸ ἔλαι[ον **ἐχαρίσατο τοῖς]**
**νέοις**· ἐνδεικν[ύμενος δὲ τὴν αὐτοῦ]
μεγαλοψυχία[ν ὑπεδέξατο? τοὺς]
**πρεσβυτέρου[ς φιλανθρώπως· ἀκο]-**
**λουθως δὲ καὶ [τοῖς πατρίοις ἡ πόλις]**
**τοὺς ἀπὸ παίδ[ων φιλοτίμους ἀ]-**
**ποδέχεται τὴ[ν καταξίαν ἀεὶ πρὸς]**
**ἕκαστον ποιου[μένη ἀμοιβήν· ὅ]-**
**πως** οὖν καὶ **οἱ ἄ[λλοι ἐφάμιλλοι γί]-**
**νωνται τὴν ἐ[πιμέλειαν** περὶ ἑ]-
κάστων ποιο[ύμενοι σπουδαιοτέραν·]

ἀγαθῆι τύχη[ι, δεδόχθαι **τῶν Ἀμφι]-**
**πολιτῶν** το[ῖς — — — — — — — —]
ἐπαινέσαι Φίλι[ππον — — — — —ο]υ
τοῦ γυμνασι[άρχου ἐπὶ τῆι φιλ]α-
γαθίαι καὶ ἀφιλα[ργυρίαι ἧι ἔχων δι]α-
τελεῖ τὰ κατ’ ἧ[μαρ εὐθύνων? καὶ τιμῆ]-
σαι αὐτὸν **θαλλο[ῦ στεφάνωι καὶ εἰκόνι]**
**χαλκῆι, τὴν δὲ [ἀναγόρευσιν κατ’ ἔτος]**
γενέσθαι ὑπὸ τ[οῦ — — — — — — ὅταν]
ὁ ἱερεὺς ἐπιτε[λῆι τὴν θυσίαν τῶν Πυ]-
θίων χάριν τοῦ [τὰς γεγονυίας ὑ]-
φ’ ἡμῶν εἰς αὐτὸ[ν τιμὰς φανερὰς εἶ]-
ναι παρὰ πᾶσιν· [τὴν δὲ ἀνάστασιν?]
γίνεσθαι τῶν [— — — — — — — — κα]-
θεσταμένου [— — — — — — — — — —]
νέων ὑπάρχ[ωσιν — — — — — — — ἐ]-
ξ αὐτῆς ὅπω[ς ἡ εἰκὼν ἐπιμελῶς κατα]-
σκευασθῇ καὶ [τὸ ψήφισμα ἀναγρα]-
φὲν εἰστήλην λιθίνην [**σταθῆι παρὰ]**
**τὴν εἰκόνα εἰς τὸν ἐπιφανέστα-**
**τον τοῦ γυμνασίου τόπον**.

MAMA 6, 67

Honorary inscription for Herm[o]geneș Chari[nou (?)] by neo(i), on base; II/I; found at Attouda: Anderson, JHS 17, 1897, 397, no. 3;

**[οἱ] νέο<ι> ἐτίμ[ησ]αν** Ἑρμ̣ [ο]γένηṇ Χαρί[νου?] **ẹ̓παίνωι, προεδρίαι, χρυσῶι στεφάṇ[ωι,]**

**εἰκόṇ[ι] γραπτῇ, εἰκόνι χαḷḳῇ,**

ἀ̣ ρετῆς ἕνεκεν καὶ εὐνοίας

τῆς πρὸς τοὺς νέους.

Halikarnassos 75
ABSA 1955, 99, no. 5
[—]
[—]Σ̣ ΙΔΟΣ[...]
[—]Ọ Ṇ ΤΟΣ̣Ι̣[...]
[—] Θυάλλιος /[...9-10...]Ṃ Ạ Ị Σ ἀπὸ τῆς /5 Μ[..c.8... πρ]εσβείας ΔΙΕ /ΝΕ[.c.5.]Σ ἐπρέσβευσεṿ
[.5-6..]Ε[.c.4.]ỊΕΡΩΝΜΕΝ /[.3-4.] **γ ụ̓μ̣ [να]σ̣ ιαρχῶν δὲ τὸ δʹ** [4] /**[τ]ῶν νέων π̣ ρ̣ῶτος, γυμνα-**
**σιαρχῶν δὲ καὶ τῆς γερουσί-** /**[α]ς**, Εἴσιδι Σαράπιδι καὶ τῶι /δήμωι χαριστήριον.

Heberdey-Kalinka, Bericht 28,28
[ ]Lycia — Kyaneai (Yavu) — 2nd c. BC
ο........
τε ἑκαστο ..........
ι ἀγομένους ...........
[................. ἀργυρί]ου δραχμὰς ἑξακισχιλίας ....ν. λιθινη . καινο.
[........ τύχηι ἀγαθῆ]ι δεδόχθαι ἐπαινέσαι Ἀντίχαριν Ἀμύντο[υ] Πινα(ρέα)
[καὶ **στεφανῶσαι αὐτὸν κ]αὶ στῆσαι** αὐτοῦ ἐν τῶι τοῦ Ἀπόλλωνος **ἱερῶι εἰκόν[α]**
**[χαλκῆν· τελεῖν δὲ τὴ]ν τελετὴν συ[μ]πομπευόντων καὶ τῶν ἐφήβων κ[αὶ]**
**[θύοντος τοῦ γυμνασι]άρχου βοῦν ἐπὶ τοῦ βω[μ]οῦ τοῦ ἀνατεθ[η]σομένου**, τ[οῦ]
[δὲ κήρυκος ἐν τοῖς παρ]οῦσιν καλοῦντος Ἀντίχαριν Ἀμ[ύ]ντ[ο]υ εἰς προεδρία[ν]
[ἐν τοῖς ἀγῶσι τοῖς ἀ]νδρῶν, ὁμοίως δὲ καὶ ἀκοντιστ[ῶν] καὶ τοξ[ο]τῶν καὶ [π]ε[λ]-
[ταστῶν. ὧν δὲ θυσιῶ]ν προγέγραπται, ἐπιμελὲς γ[ενέσ]θω τῶι κατ’ ἐνιαυτ[ὸν]
[ἱερεῖ **θύεσθαι καὶ Ἑ]ρμῇ καὶ Ἡρακλῇ**, καὶ [π]ρ[ο]σαποτινέτωσαν Ἀντιχάρ[ιδι]
[....... μηδένα δ]ὲ κατὰ τοῦδε τοῦ ψηφίσματος ἐπι[ψηφί]σασθαι μήτε [εἰ]-
[πεῖν, ἢ αὐτὸς πρακτὸ]ς ἔστω εἰς τοὺς προγεγραμμένους θεοὺς καὶ τ[ὰ ὑπάρ]-
[χοντα αὐτῶι· εἶναι δὲ τ]οῖς ἀγχιστεῦσιν [α]ὐτοῦ ἐπίτιμον καθάπερ ἐγ δί[κης].
**[τὴν δὲ εἰκόνα αὐτοῦ ὁ ε]ἰσιὼν γυμνασίαρχος καὶ τα[μία]ς συντελείτωσα[ν ἐπι]-**
**[γράψαντες· Κυανειτ]ῶν οἱ νέοι Ἀντίχαριν [Ἀμ]ύντου [ἄν]δρα ἀγαθὸν γενό[με]-**
**[νον ἐτίμησαν πρ]οεδρίαι ἐν τοῖς ἀγῶσιν,** χρυσῶι στεφάνωι, εἰκό[νι χαλ]-
[κῆι, ἀμειβόμενοι Ἀν]τιχάριδι Ἀμύντου τῶι ἑαυτῶν εὐεργέτηι .α.ε...
[.............. τα]ῖς καταξίαις τιμ[αῖ]ς ........ε...υ.....
.............. τῆς ἐξέδρας τ[ῆ]ς ἐν τῶι γυμνασίωι ἐν στήληι
[λιθίνηι ........]ασ....γε...ς του....... ἐπηγγείλ[α]το.

## Iasos 21

Honorary decree of [boule and de]mos for [Gaiu]s Caninius Synallas[son], **with regulations of foundation which he established for gymnasium of neoi**; AD 117/138; found at Iasos: Reinach, REG 6, 1893, 157-166, no. 3; BE 1894:393; Laum**, Stiftungen** II 124; Wilhelm, NBeitr. 4, 43-53 (= Akadschr. I 217-[5]

[— ἐπειδὴ Γάϊος Κανίνιος Συναλλάσσων —]
a [—]
[—]
1 [—]ων /το ἐγ μέρο[υς —]λ[—] ἐσκούτλω- /κεν, ἐπήνγελται δὲ καὶ τ[— σκου]- /τλῶσαι· ὑποσχόμενος δὲ καὶ στεφα- /5 νηφορήσειν τῆς προκαθηγεμόνο[ς] /τῆς πόλεως ἡμῶν Ἀρτέμιδος Ἀ[σ]- /τιάδος μετὰ ἄλλα ἔτη β', **βουληθέντο[ς] /τοῦ δήμου τάχειον τῆς ὑποσχέσεω[ς] /ἔτεσιν δυσὶ στεφανηφορῆσαι αὐτόν**, /10 ἐν μηθενὶ βουλόμενος ἀντιλέγειν τῇ π[α]- /τρίδι καὶ τοῦτο ὑποσχόμενος καὶ ἐκ[δε]- /ξάμενος **τὸ συνφέρον τῇ πόλει [ἔ]- /δωκεν ὑπὲρ τῶν τῆς στεφανηφο[ρί]- /ας ἀναλωμάτων πάντων ἀργυρίου /15 δηνάρια πεντακισχείλια**· ἐφ' οἷς πᾶσιν /**ἡ βουλὴ καὶ ὁ δῆμος, ἀποδεχόμενοι /αὐτοῦ τὸ περὶ τὴν πατρίδα λαμπρὸν /καὶ φιλότειμον, ἔκρειναν τειμηθῆνα**[ι] /αὐτὸν ταῖς **καλλίσταις καὶ μεγίσταις τε[ι]- /20 μαῖς πάσαις**, ἀνατεθῆναί τε αὐτοῦ καὶ /εἰκόνα γραπτὴν καὶ εἰκόνα χαλκῆν καὶ /ἄγαλμα μαρμάρινον· **ἀνιερῶσθαι δὲ καὶ /τὰ πεντακισχείλια δηνάρια εἰς τὸ τῶν /νέων γυμνάσιον, ἐφ' ᾧ ἡ πρόσοδος αὐτῶν /25 ἀεὶ χωρήσει καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸ /ἐλαιοχρείστιον τοῦ ἕκτου μηνός**· /τύχηι ἀγαθῆι, δεδόχθα[ι] /[τῇ τε βουλῇ καὶ τῷ δή]μῳ· τὴν μὲν στε[φανηφο]- /[ρίαν τῆς θεοῦ Γαΐω]ι Κανινίωι Συναλλάσ[σοντι ὑ]- /30 [πάρχειν καθότι καὶ] τοῖς λοιποῖς στεφ[ανηφό]- /[ροις, κ]α[ὶ τετειμ]ῆσθαι αὐτὸν ταῖς κ[αλλίσταις] /[καὶ] μεγίστα[ις] τειμαῖς πάσαις· ἀνατεθ[ῆναι] /δὲ αὐτοῦ καὶ εἰκόνα γραπτὴν καὶ εἰκόνα χ[αλκῆν] /καὶ ἄγαλμα μαρμάρινον ἐν οἷς ἂν βούλητα[ι] /35 τόποις ἱρο[ῖς] ἢ δημοσίοις· ἀνιερῶσθαι δὲ τὰ **πε[ν]- /τακισχείλια δηνάρια ἰς τὸ γυμνάσιον τῶν νέ- /ων, ἐφ' ᾧ ἡ πρόσοδος αὐτῶν ἀναλωθήσεται /[κα]θ' ἕκαστον ἐνιαυτὸν μηνὶ ἕκτῳ, ἐὰν δέ τι πλε- /ο[ν]άσῃ, τοῦτο χωρήσει εἰς τὸ λοιπὸν ἐλαιο- /40 χρείστιον τοῦ ἐνιαυτοῦ, ἐφ' ᾧ ἐὰν πάλιν λίπῃ /τει[μιά]σαντός ποτε τοῦ ἐλαίου ἤ τινος ἑτέ- /ρας γενομένης ἐτίας, τοῦτο προσεισενε- /χθήσεται ἐκ τῆς λοιπῆς προσόδου τῶν νέων /πρὸς τὸ ἀνάλιφον τῷ ἕκτῳ μηνὶ μὴ γενέσ- /45 θαι**, ἐφ' ᾧ ἐκ τῶν δεκαπρώτων ἢ εἰκοσαπρώτων /ἢ τῶν τούτοις ὁμοίων **ἔσται αἰεὶ ἐπιμελητὴς /αὐτῶν ἐπὶ ἔτη ε'**, ὃς παραλαβὼν **αὐτὰ ἐγδανίσει τό- /κου** ἐπὶ μηνὶ ἑκάστῳ ὡς τῶν ἑκατὸν δηναρίων /ἀσσαρίων στερεῶν δέκα β', καὶ τὸν κατ' ἐνιαυ- /50 τὸν γεινόμενον τόκον δώσει αἰεὶ τοῦ πα- ρελθόντος ἐνιαυτοῦ, μηνὶ πρώτῳ, Σεβαστῇ, /**τοῖς διοικηταῖς τῶν νέων οἵτινες ἀναλώ- /σουσιν τὸν τόκον εἰς τὸ ἄλιμμα τοῦ ἕκτου /μηνὸς προαγοράζοντες τὸ ἔλαιον**, ἐφ' ᾧ οὐ- /55 δενὶ ἐξέσται ἄρχοντι οὐδὲ ἑτέρῳ οὐδενὶ με- /τα διατάξαι ἕτερόν τι περὶ τούτων τῶν πεντα- /κισχειλίων δηναρίων ἢ τῆς προσόδου αὐτῶν, /ἐκτὸς ἐὰν μὴ χωρίων ἀγορασθησομένων τοῖς/ νέοις δεήσῃ καὶ τοῦτο τὸ ἀργύριον εἰς τὴν τει- /60 μὴν τῶν ἀγορασθησομένων ἀγρῶν χωρῆσαι, ἐφ' ᾧ καὶ οὕτως μενεῖ **ἡ πρόσοδος αἰεὶ εἰς τὸ ἄλιμα /τῶν νέων καθότι προγέγραπται**· ἐπεὶ ὁ ὑπεναντί- /ον τούτοις ποιήσας **τι ἀποδώσει εἰς τὸν τοῦ κυ- /ρίου Καίσαρος φίσκον δηνάρια πεντακισχείλια** /65 **καὶ οὐδὲν ἔλασσον ἔσται τὸ μεταδιαταγὲν ἄκυρον /καὶ μενεῖ τὰ πεντακισχείλια δηνάρια καὶ ἡ πρόσοδος /αὐτῶν τοῖς νέοις καθότι προγέγραπται·** ἐγράφη διὰ τῶν λαχόντων δογματογράφων Ἀλεξάνδρο<υ> τοῦ γ' Ἀλεξάν-
δρ<ο>υ, Εἰρηνα[ί]ου τοῦ Ἑρμογένους, Ἑρμώνακτος τοῦ α'

## Iasos 84

Decree of boule and demos (of Iasos) authorizing presbyteroi to collect money; II;

1 **ψήφισμα τῶν πρεσβυτέρων ὑπὲρ τῶ[ν] /χρημάτων**· ἐπὶ στεφανηφόρου Ἑκα[ταίου] /τοῦ Χρυσάορος, μηνὸς Ἀληθιῶνος· /ὑπὲρ ὧν **οἱ πρεσβύτεροι προεγράψαντο**· /5 **ἔδοξεν τῇ βουλῇ καὶ τῷ δήμῳ**, ἐκ[τη ἱστα]- /μένου, Λεοντιάδης Δημέου ἐπεσ[τάτει,] /πρυτάνεων γνώμη· περὶ ὧν **ἐπῆλθον οἱ [πρ]εσ- /βύτεροι διὰ τοῦ γυμνασιάρχου** Χρυσίππου /τοῦ Ἀπολλωνίου, ἵνα, ἐὰν δόξῃ τῇ βουλῇ /10 καὶ τῷ δήμῳ, ἐπιχωρηθῇ αὐτοῖς ποεῖσθαι τ̣ὰ̣ς /πράξεις **τῶν ὑπαρχόντων αὐτοῖς κοινῶν χρη- /μάτων κατὰ τῶν χιρισάντων τι αὐτοῖς καὶ /μὴ ἀποδόντων ἐν τοῖς καθήκουσιν χρόνοις, κα- /θότι καὶ *τοῖς νέοις* συνκεχώρηται** ὑπὸ τῆς βου- /15 λῆς καὶ τοῦ δήμου, παραλαμβάνοντος τοῦ γραμ- /ματέως τῆς βουλῆς **παρὰ τῶν πρεσβυτέρων /τὰς ἀπογραφὰς κατὰ τὸ Θαλιεύκτου διόρθωμα /κατὰ τῶν μὴ ἀποδόντων ἢ τῶν κληρονόμων αὐτῶν·** /δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ διοικεῖσθαι /20 καθότι ἐν τῇ ἐφόδῳ γέγραπται.

### Iasos 161
Building/dedicatory inscription of stoa to neoi and presbyteroi

Σώπατρο[ς Ἐπικ]ράτου γ[υμνασια̣ [ρχήσας] τῶν τε **νέ[ων καὶ τῶν π]ρεσβυτέρων** τὴν στοὰν ***τῶι δήμωι*** **καὶ τοῖ[ς νέοις καὶ τοῖς πρεσβυτέροις ἀνέθηκεν**.]

### Smyrna 770
Funerary inscription by Numerius Ba[ ... ] for self and family, with penalty for violating grave; imperial; found at Işİkkent: *ISmyrna
198 (PH).

Νουμέριος ΒΑ.[.c.6..]Ο̣ [..]ΗΔΗ.[.c.5.] φυλῆς Λητωΐδος/ ἀγοράσας τόπον ψειλὸν ὀπίσω τοῦ πολυανδρίου ζῶν κατε- /σκ̣ [εύασε τὸ μνη]μ̣ εῖον ἑα[υ]τῷ καὶ τῇ κατοιχομένῃ γυναικὶ Κλ(αυδίᾳ̣)/ Ο[— καὶ τέκνοις καὶ ἐκγό]ν̣οις καὶ θρέμμασιν· μηδενὸς
ἔ[χοντος ἐξουσίαν — μηδὲ κη]δεῦ̣σ̣ αι ε̣ἰς τοῦ̣ τ̣ο τὸ/μ[νημεῖον — μηδὲ ἐξαλλοτριῶσ]αι αὐτὸ κατὰ μηδένα/ τρ [όπον. **ἐὰν δέ τις τολμήσῃ ποιῆσαι ὑπεναντί]ον τ̣ ι̣ τοῖς προγεγραμμέ-/νο̣ ι̣ς [—, δώσει τῷ Καίσ]αρος φίσκῳ □ ,ε καὶ τοῖς/ νέοις** □ [—ʹ.] ταύτης τῆς ἐπιγραφῆς τὸ ἀντίγραφον ἀπέθη ἰς τὸ ἐν
[Σ]μ̣ ύρνῃ ἀρχεῖον.

### IK Kyme 19
Aeol. — Kyme (Namurt Limani) — 2 BC-14 AD — SEG 27.791 cf. — IGR 4.1302

— — —
[— — — — — — — — — — — — — — — — — — — — — — — — — δαμ]οσίαι[ς — — —]
[καὶ πρὸς τὰν εἰς αὐτὸ χοραγίαν ταὶς ὑπαρχοί]σ̣ α̣ ι̣ς αὐτῷ κτή-
[σιας ἐν Ζμαραγήῳ̣ — — — — — — — — — —· ἐπὶ δ]ὴ τούτοισι τῶ δά-
[μω — — — — — — — — — — — — — — — — — —]ο̣ νια πασυδιάσαντος καὶ
[μεγαλο]π̣ ρ̣ ε̣πεστά[τ]α̣ ι̣ς τειμαὶς δογματίζοντος καὶ ναῦ- /[ο]ν̣ ἐν τῷ γυμ<ν>ασίῳ̣ κατείρων προαγρημμένω, ἐν ᾧ ταὶς τει- /μαὶς αὐτῶ κατιδρύσει, **κτίσταν τε καὶ εὐεργέταν** προσονυ- /μάσδεσθαι εἰκόνας τε χρυσίαις ὀντέθην, καθʼ ἃ τοῖς τὰ μέ- /γιστα τὸν δᾶμον εὐεργετησάντεσσι νόμιμόν ἐστι, με-
τά γε **τὰν ἐξ ἀνθρώπων αὐτῶ μετάστασιν καὶ τὰν ἐν- /ταφὰν καὶ θέσιν τῶ σώματος ἐν τῷ γυμνασίῳ γενήθην**, /ἀποδεξάμενος ὑπερθύμως τὰν κρίσιν τᾶς πόλιος Λα- /βέων, στοιχεὶς τοῖς προϋπαργμένοισι αὐτῷ καὶ προσμε- /τρεὶς τὰν ἑαυτῶ τύχαν τοῖς ἐφικτοῖσιν ἀνθρώπῳ, τὰν / μὲν ὑπερβαρέα καὶ θεοῖσι καὶ τοῖς ἰσσοθέοισι ἁρμόζοι- /σαν τᾶς τε τῶ ναύω κατειρώσιος τᾶς τε τῶ κτίστα
προσονυμασίας τειμὰν παρητήσατο, ἀρκέην νομί- /ζων τὰν κρίσιν τῶ πλάθεος καὶ τὰν εὔνοαν ἐπιτεθε- ωρήκην, ταῖς δὲ τοῖς ἀγαθοῖσι τῶν ἀνδρῶν πρεπο[ί]- / σαισʼ ἀσμενιζοίσα̣ χαρᾷ συνεπένευσε τειμαῖσι· ἐφʼ ο[ἷ]- /σιν πρεπωδέστατόν ἐστι, τῶν ἐννόμων ἐόντων /χρόνων, τὰν παντελέα τῶν εἰς ἀμοιβὰν ἀνηκόντων /ἐπαίνων τε καὶ τειμίων περὶ τᾶς καλοκἀγαθίας αὐτῶ /μαρτυρίαν ἀπυδεδόσθαι· διʼ ἃ καὶ τύχα̣ ἀγαθᾷ, δεδόχθαι / **τᾷ βολλᾷ καὶ τῷ δάμῳ· ἐπαίνην Λαβέωνα παίσας ἐόντα τει- /μᾶς ἄξιον** καὶ διὰ τὰν λοιπὰν μὲν **περὶ τὸν βίον σεμνότατα /καὶ διὰ τὰν φιλοδοξίαν δὲ καὶ τὰν μεγαλοδάπανον εἰς /τὰν πόλιν διάθεσιν**, καὶ ἔχην ἐν τᾷ καλλίστα̣ διαλάμψει τε καὶ /ἀπυδοχᾷ, καὶ κάλην εἰς προεδρίαν καὶ στεφάνων ἐν πάν- / τεσσι τοῖς ἀγώνεσσιν, οἵς κεν ἁ πόλις συντελέῃ, ἐν τᾷ τᾶν /κατευχᾶν ἀμέρα̣ ἐπὶ τᾶν σπονδᾶν κὰτ τάδε· **"ὁ δᾶμος στε- /φανοῖ Λεύκιον Οὐάκκιον Λευκίω υἱὸν Αἰμιλία Λαβέωνα φι- /λοκύμαιον, εὐεργέταν**, στεφάνῳ χρυσίῳ ἀρετᾶς ἕνεκα /καὶ φιλ{ι}αγαθίας {[26]φιλαγαθίας}[26] τᾶς εἰς ἑαυτόν." ὀντέθην δὲ αὐτῷ καὶ εἰ- / κόνας, γραπτάν τε ἐν ὅπλῳ ἐνχρύσῳ καὶ χαλκίαν, κὰτ τὰ αὐ- /τὰ δὲ καὶ μαρμαρίαν καὶ χρυσίαν, **ἐν τῷ γυμνασίῳ, ἐφʼ ἆν ἐπι- /γράφην· "ὁ δᾶμος ἐτείμασεν Λεύκιον Οὐάκκιον Λευκίω /υἱὸν Αἰμιλία Λαβέωνα, φιλοκύμαιον, εὐεργέταν, γυμνασι-**

**αρχήσαντα καλῶς καὶ μεγαλοδόξως, ὀνθέντα δὲ/ καὶ τὸ βαλανῆον τοῖς νέοισι** καὶ πρὸς τὰν εἰς αὐτὸ χοραγί- /αν ταὶς ὑπαρχοίσαις αὐτῷ κτήσιας ἐν Ζμαραγήῳ, καὶ ἐ- /πισκεάσαντα τὸ γυμνάσιον καὶ ἕκαστα ἐπιτελέσαντα /λαμπρῶς καὶ μεγαλοψῦ χως, ἀρετᾶς ἕνεκα καὶ εὐνόας /τᾶς εἰς ἑαυτόν." ***καὶ ἐπεί κε δὲ τελευτάσῃ, κατενεχθέν- /τα αὐτὸν ὑπὸ τῶν ἐφάβων καὶ τῶν νέων εἰς τὰν ἀγορὰν /στεφανώϑην διὰ τῶ τᾶς πόλιος κάρυκος κὰτ τάδε·*** "ὁ δᾶ- /μος στεφανοῖ Λεύκιον Οὐάκκιον Λευκίω υἱὸν Αἰμιλία Λα- /βέωνα, φιλοκύμαιον, εὐεργέταν, στεφάνῳ χρυσίῳ ἀρε- /τᾶς ἔν<ε>κα καὶ εὐνόας τᾶς εἰς ἑαυτόν." ***εἰσενέχϑην δὲ / αὐτὸν εἰς τὸ γυμνάσιον ὑπό τε τῶν ἐφάβων καὶ τῶν /νέων καὶ ἐντάφην, ἐν ᾧ κεν {ἄν} εὔϑετον ἔμμεναι φαίνηται τό- /πῳ. τὸ δὲ ψάφισμα*** τόδε **ἀναγράψαι** εἰς στάλαν λίθω λευ- /κῶ καὶ **ὀνθέμεναι εἰς τὸ γυμνάσιον πὰρ ταὶς δεδο- /γματισμέναις** αὐτῷ τειμαίς· {[2]vac.}[2] μηνὸς Φρατρίω δεκάτᾳ / ἀπιόντος ἐπὶ ἱερέος τᾶς Ῥώμας καὶ Αὐτοκράτορος /Καίσαρος θεῶ υἱῶ θεῶ Σεβαστῶ ἀρχιερέος μεγίστω καὶ πα- /τρὸς τᾶς πατρίδος Πολέμωνος τῶ Ζήνωνος Λαοδι- /κέος, πρυτάνιος δὲ Λευκίω Οὐακκίω Λευκίω υἱῶ Αἰμιλί- /α Λαβέωνος, φιλοκυμαίω, εὐεργέτα, στεφαναφόρω δὲ / Στράτωνος τῶ Ἡρακλείδα.

IG XII Suppl. 116
[ ]Lesbos — Methymna — ca. 129 BC

ἐπὶ πρυτάνεως Τιμίχου τοῦ Ἀνθεμοκλείους καὶ γ[υ]-
μνασιάρχων Ἡράκωνος τοῦ Δαμοκλείους, Ἀπολλω-
νίου τοῦ Φάνη, μηνὸς Πανθείου· **ἀγαθῆ τύχηι ἔδο-**
**ξεν τοῖς νέοις· ἐπειδὴ καὶ ἐκ τῶν ἔνπροσθεν χρόνων**
**πολλάκις ἐπιδεδωκότες ἑαυτοὺς εἰς τὰ συνφέρον-**
**τα τοῦ δήμου καὶ ἐν τῶι παρόντι δὲ καιρῷ θεωροῦν-**
**τες τὸν δῆμον** διὰ τὰς συνεχεῖς **ἀφορίας** ἐν τοῖς **σίτ-**
**ῳοις** καὶ τὰς **εἰσφορὰς τῶν χρημάτων εἰς τὰς σιτωνία[ς]**
**θλειβόμενον**, ἔτι δὲ καὶ διὰ τὴν οὖσαν αὐτῶι ἀπὸ τῆς [ἀρ]-
χῆς πρὸς Ῥωμαίους εὔνοιάν τε καὶ φιλίαν καὶ διὰ τὴν ὑ-
πάρχουσαν πρὸς αὐτοὺς συμμαχίαν κοινωνοῦντος
τοῦ συνεστῶτος αὐτοῖς **ἐν τῆι Ἀσίᾳ πολέμου καὶ εἰς τ-**
**αῦτα εἰσφέροντος πολλὰ καὶ μεγάλα ἀναλώματα**, ἀν-
**[α]νκαῖόν ἐστιν** ἡμ ⟦.⟧ ῖν {[26]ἡμῖν}[26] **τηροῦσιν ἥν τε πρότερον εἴχομεν**
**πρὸς τὸν δῆμον εὔνοιαν** καὶ ἀκόλουθα πράσσοντας τ[ῆι]
τοῦ δήμου προαιρέσει πρὸς τὰ Ῥωμαίων **πράγματα π̣[ορί]-**
**σαντας χρήματα δοῦναι ἀναπαίτητα τῆι πόλει** εἰς [τὰς]
[γ]εγραμμένας χρείας ἄχρι στα(τήρων) ν ΧΧ[.]Η, ἵνα θυ̣[— —]
[.]ν τινες ὑφ’ ἡμῶν, οἳ δανείσουσιν [— — — — — — —]
[— — — — — — — — πί]πτοντ̣[ας τόκους? — — — — — — —]

## Πολιτική Ομάδα

α)όργανα-αξιωματούχοι, β)έκδοση αποφάσεων-διαδικασίες, γ)συγκρότηση ταυτότητας

### Αξιωματούχοι

Γυμνασίαρχος, Εφήβαρχος παραπάνω,
Ταμίας, Γραμματέας, Νεανισκάρχης

SEG-65-519-

-56-ad-

[- - - - - - - - - - - - - - - - - - - - - - - - - ἔδοξεν]/[τοῖς ἀπὸ τοῦ γυ]μνα[σίου] ἐπαινέσαι τε/[- - -]γένην ἐπὶ τῆι φιλοδοξίαι καὶ στεφα[νῶ]-/[σ]αι θα_οῦ στεφάνωι καὶ εἰκόνι γραπτῆι
4 καὶ χαλκῆι, ὅπως ἕκαστος τῶν πρὸς τ᾽ ἀρχεῖα/ παρορμώντων ζηλωτὴς γίνηται τῆς κατὰ/τὸ γυμνάσιον ἀρχῆς, πλίστην θεωρῶν [ὑ]-/ ποκειμένην δόξαν τοῖς εἰς τοὺς νέους
8 φιλαγαθοῦσιν· ἀναγραφῆναι δὲ τὸ ψήφισ[μα]/ εἰς στήλην καὶ **ἀνατεθῆναι ἐν τῶι γυμ[να]-**
**σίωι ὑπὸ τοῦ ταμίου τῶν νέ[ων]·/**ἐπεχιροτο[ν]η ? $\theta$ $\eta$ ἔτους
12 α΄ καὶ ϙ, Ὑπ[ερ]βερεταίου λ΄

IG II$^2$ 3758

[ ]Att. — s. II/III p.

vac.

1 **ἐνὶ νεανισκαρχ[ήσαντι]**
σταδίου, ὑστέρας [τάξεως]/ σταδίου, δίαυλον, κηρύκων, παν[κρατίου]/ τὴν δευτέραν τάσιν, πάντα τ᾽ ἀγῶνα
5 καὶ Ἀπολλωνίῳ Ἀρκάδι. corona
{$^2$phallus}$^2$
6 τῷ Ἡρακλεῖ Πολυνείκῳ/ καὶ πάλῃ καὶ πανκρατίῳ**/ νεανισκαρχήσαντι τῶν/ συνεφήβων**.
{$^2$vac. 0.050}$^2$
10 τ-
ῷ Ἡρακλεῖ
[Δ]εινομένει.

## Έκδοση αποφάσεων-διαδικασίες

Παραπάνω: Εκπαίδευση. Τιμές, Ευεργεσία, Έσοδα.

Αποφάσεις Νέων και έκδοση ψηφίσματος αποκλειστικά εκ μέρους τους.
SEG 30:546, MAMA 6, 67

Έκδοση από κοινού.
IK Sestos 1

Έκδοση κατόπιν αιτήματος.
Ephesus 110

## Ανάδυση ομοσπονδιακών ταυτοτήτων;

SEG-32-496

-thespiai-proxeny-decree-for-the-athenian-military-instructor-sostratos-ca-250-bc-

Φαείνω ἄρχοντος, ἔδοξε τοῖ δάμοι/ πρόξενον εἶμεν τᾶς πόλιος Θεισ-/πιείων Σώστρατον Βατράχω Ἀθανῆ-

4 ον κὴ αὐτὸν κὴ ἐκγόνως κὴ εἶμεν αὐ-/[τ]οῖς γᾶς κὴ Fοικίας ἔππασιν κὴ Fι-/[σο] τέλιαν κὴ ἀσφάλιαν κὴ ἀσουλί-/[αν] κὴ πολέμω κὴ ἰράνας ἰώσας κὴ κα-/8 τὰ γᾶν κὴ κατὰ θάλατταν κὴ τᾶ_α/πάντα καθάπερ κὴ τοῖς ἄ_οις προ-/ξένοις˙ **Ἐπειδεὶ νόμος ἐστὶ ἐν τοῖ κοι-/νοῖ Βοιωτῶν τὰς πόλις παρεχέμεν/ 12 διδασκάλως οἵτινες διδάξονθι/ τώς τε παῖδας κὴ τὼς νιανίσκως**/ τοξευέμεν κὴ ἀκοντιδδέμεν/ κὴ τάδδεσθη συντάξις τὰς περὶ/ 16 τὸν πόλεμον, κὴ Σώστρατος φιλο-/τίμως ἐπιμεμέλειτη τῶν τε παίδων/ κὴ τῶν νεανίσκων, ὑπαρχέμεν Σωσ-/στράτοι τὸ Fέργον πὰρ τᾶς πόλιος ἄως

20 κα βείλειτη**, ἐπιμελομένοι τῶν τε παί-/δων κὴ τῶν νεανίσκων κὴ διδάσκον-/τι καθὰ ὁ νόμος κέλετη· μισθὸν δ_ εἶ-μεν αὐτοῖ τῶ ἐνιαυτῶ πέτταρας**

24 **μνᾶς**

SEG-53-1373-

Ilion-honorary-decree-of-the-for-antikles-ca-200-150-bc-

Ἐπὶ ἀγωνο[θετ]ῶν τῶν περὶ Δημήτριον Πρωτοκλεί-/δου Ἰλιέα, Ἀρισ[τ]οκράτην Σκύμνου Λαμψακηνόν, Ἡρα-/κλείδην Ἀπολ[λ]ωνίο[υ Σκ]ήψιον, Ζωῖλον Μενεστρά-/4 του Ῥοιτέα, Λυσίαν ΒΟ. [- - - Ο]Υ Ἀβυδηνόν, γραμματεύον-/τος Φαίδρου τοῦ Πολυκ[ράτου]ς Παριανοῦ, Παναθηναίοις μ[ε]-/γάλοις, ἐκκαιδε[κάτ]ηι̣ [τῆς] πανηγύρεως, **γνώμη τῶν σ[υν]-/έδρων ἐ[π]εὶ ἐπε[λθόντες] ἐπὶ τὸ συνέ[δ]ριον οἵ τε νέοι καὶ οἱ ἀ-/8 θληταὶ** καὶ τῶν ἄ[λ]λ[ων τ]ῶμ παραγεγο[ν]ότων εἰς τὴμ πανή-/[γ]υριν πλείους ἀ[ξ]ιο̣[ῦσιν ἵ]να ἐπισκέψω[ν]ται οἱ σύνεδροι καθό-/[τ]ι **Ἀντικλῆς Ἀλ[ε]ξ[άνδρ]ου Λαμψακηνὸς τιμηθήσεται** κατ_ ἀ-/[ξ]ίαν τῆς φιλοτ[ι]μ[ίας ἃ]μ πεποίηται ἔν τ[ε] τοῖς μικροῖς καὶ ἐν/ 12 τοῖς μεγάλοις [Παναθ]ηναίοις συμφέρον δέ ἐστιν τιμᾶσ(θ)αι/ τοὺς καλοὺς κα[ὶ ἀγαθ]οὺς τῶν ἀνδρῶν ἀ[ξί]ως ὧν ἂμ φιλοδο-/ξήσωσιν εἰς [τὴν π]ανήγυριν, Ἀντικλεί[ου]ς δὲ τ[ῆ]ς τε εὐ-/δοξίας τ[ῆ]ς κ[ατὰ τ]ὸ γυμνάσιον τὴμ προσ[ή]κουσαν ἐπιμέ-/16 λειαμ πεποιη[μέν]ου καὶ κεχορηγηκότος ε[ἰς] τὴν γυμνασια[ρ]-/χίαν ὡς ἐνδ[έχ]ε[τ]αι φιλοτιμότατα καὶ τῶν [λ]οιπῶ[ν] τῶν κατὰ**/ [τ]ὴν ἀρχὴν [ἐπιμεληθ]έντος ἀξίως τῆς τε [π]ατρί[δ]ος τῆς ἐξ-/αποστει[λά]σης [κ]α[ὶ] τῶν ἄ⸢λλ⸣ων πόλεων τ[ῶ]ν συ[ν]αγουσῶν/ 20 [τ]ὴμ πανή[γυ]ριν, κα[ὶ ἐπ]ιφανοῦς γεγονότος** [?δι]ότι̣ [ἡ]γεμονικω̣_-/τατον κα[ὶ κ]ά⸢λλ⸣ιστο̣ [ν ν]ομίσας εἶναι τὸμ παρ[ὰ] τῶ[μ] πόλεων ἔ-/παινον καὶ [. ]ΑΥΠΡΞΟΝ [τ]ὰ τίμια φιλοδοξῆσαι πρ̣[ο]είλ̣ετο, οὔτε δα-/[π]άνη[ς] οὐδεμίας φε[ι]σάμενος οὔτε σπο[υ]δῆς καὶ φιλοτι-/24 [μίας] οὐθὲν ἐ⸢λλ⸣είπ[ω]ν, διὸ καὶ καλῶς ἔχ[ο]ν **ἐστὶν τὸν/[δῆμ]ον τὸν Λαμψακηνῶν ἐπαινεθῆν[άι ὑ]πὸ τῶν πόλε-/[ων τ]ῶγ κοινωνουσῶ[ν] τῆς πανηγύρεως** [ἐ]πὶ τῶι ἐξαποσ-/[τεῖλα]ι ἄνδρα ἄξιον τῆς [ἀ]ρχῆς · ὁμοίως δὲ [κ]αὶ τὸγ γυμνασί-/28 [αρχο]ν Ἀντικλῆν τιμηθῆναι στεφανωθέ[ντο]ς αὐτοῦ χρυσῶι/[στεφ]άνωι καὶ εἰκόνι χαλκῆι καὶ γενομένη[ς τ]ῆς τε **ἀναγορεύ-/ [σεω]ς καὶ τοῦ ψηφίσματος ἀναγραφέντο[ς κα]θότι ἂν τοῖς συν-/[έδρο]ις δόξηι**, **δεδόχθαι τοῖς συνέδροις · τε[τι]μῆσθαι τὸν γυμ[ν]α-/ 32 [σίαρ]χον Ἀντικλῆν Ἀλεξάνδρου Λαμψακ[η]νὸν στεφάνωι/[χ]ρ[υ]σῶ[ι κ]αὶ εἰκόνι χαλκῆι** · τοὺς δὲ ἀγωνο[θέ]τας ποιήσασθαι/[τ]ὴ[ν] **ἀναγόρευσιν** τοῦ τε στεφάνου καὶ τῆς εἰκόνος **ἐν τῶι ἀ-/[γῶν]ι** τῶ[ι] γυμνικῶι κατὰ τάδε - **στεφανοῦσ[ιν] οἱ νέοι καὶ οἱ ἀθλητα[ὶ]/ 36 Ἀν[τ]ικλῆν Ἀλεξάνδρου Λαμψακηνὸν στ[εφ]άνωι χρυσῶι καὶ**

**[ε]ἰκόνι χαλκῆι γυμνασιαρχήσαντα καλῶ[ς κ]αὶ ἀξίως τῆς πα-[3]/νηγύρεως** · ἵνα δὲ τὰ γεγραμμένα συντ[ε]λεσθῆι καὶ διαμείνηι

τὸμ πάντα χρόνον, ἐπιμεληθῆναι τοὺς [ἀ]γωνοθέτας ὅπως/ 40 [ἀ]ναγραφ[ῆ]ι τὸ ψήφισμα εἰστήλας δύο λε[υ]κοῦ λίθου καὶ ἡ μὲν μί-/[α] ἀνατεθ[ῆ]ι εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς τὸ ἐν Ἰλίωι, ἡ δὲ μία ἀπο-/σταλῆι εἰς Λάμψακον · ἐπιμελὲς δὲ π[ο]ιήσασθαι τοὺς ἀγωνο-

[θ]έτας, ἵνα καὶ ἡ εἰκὼν σταθῆι ἐν Ἰλίωι ἐν τῶι ἱερῶι τῆς Ἀθηνᾶς, ἐ-/44 [π]ὶ δὲ **τὴμ βάσιν τοῦ ἀνδριάντος ἐπι[γ]ραφῆι ὅτι οἱ νέοι καὶ οἱ ἀθλ[η]-/[τ]αὶ** Ἀντικλῆν Ἀλεξάνδρου Λαμψακη[ν]ὸν γυμνασιαρχήσαν-/τα καλῶς καὶ ἀξίως αὐτῶν τε καὶ τῆ[ς] πανηγύρεως · τού-/[τ]ωγ γὰρ γενομένων καὶ οἱ λοιποὶ **θεωροῦντες κἀξίαν τι-/48 μωμένους ὑπὸ τοῦ κοινοῦ τῶμ πόλεων τοὺς καλοὺς/καὶ ἀγαθοὺς τῶν ἀνδρῶν** καὶ δόξ[η]ς τυγχάνοντας ἀει-/μνήστου προθύμως αὐτοὺς ἐπιδώσουσιν εἰς τὸ ἐπιφα-/νῶς τε καὶ ἀξίως τῆς τε θεᾶς καὶ τῶμ πόλεων συντελέσ-/52 [θ]αι τὰ κατὰ τὴμ πανήγυριν · τον δὲ ἀγωνοθέτην καὶ τοὺς συν-/έδρους τοὺ[ς ἀπ]εσταλμένους ἐκ Λαμψάκου ἀνενεγκεῖν τ[ό]-/δε τὸ ψήφισ[μα Λα]μψακηνοῖς καὶ ἀ[ξ]ιοῦν αὐτοὺς ἐπιμελὲς/ [π]οιήσασθαι ὅπως ἀνατεθῇ ἡ στήλη ἐν τῶι τόπωι ὡς κα[λ]-/56 [λ]ίστωι · ἑλέσθαι δὲ τοὺς συνέδρου[ς] καὶ πρὺς Ἰλιεῖς πρεσβεί-/[α]ν ἥτις ἀξιώσει αὐτοὺς παραδεῖξαι ἐν τῶι ἱερῶι τῆς Ἀθη-/νᾶς τόπον ἐπιφανέστατον εἰς ὃν ἀνατεθήσεται ἥ τε/[εἰκ]ὼν καὶ ἡ στήλη · ἡ̣ρέθησαν ἐκ γ_ μὲν τῶν ἀγωνοθετῶν/ 60 Δημήτριος Πρωτοκλείδου Ἰλιεύς, ἐγ δὲ τῶν συνέδρων Π[υ]-/θόδωρος Μητροτίμου, Πλήξιππος Δημοδόκου Λαμψα-/[κ]ηνοί

## Σύγκρουση

### IG XII,4 1:247

Letter of the Knosians honoring the physician Hermias of Kos. Stele of white marble, in two joining parts.

Kos Isl. — Kos — Asklepieion — sh. aft. 218 BC — Syll.³ 528 — IC I viii 7

vacat 0,07

**Κνωσίων οἱ κόσμοι καὶ ἁ πό<λ>ις Κώιων τᾶι βωλᾶι καὶ τῶι δ-/άμωι χαίρειν· ἐπειδὴ πρεσβευσάντων** Γορτυνίων πρ-ὸς ὑμὲ ὑπὲρ ἰατροῦ καὶ ὑμῶν φιλοτίμως σπευσάντων**/** καὶ **ἀποστειλάντων αὐτοῖς Ἑρμίαν ἰατρόν**, **στάσιος** δ-/5 ἐ **γενομένας ἐγ Γόρτυνι** καὶ **ἐλθόντων ἁμίων κατ[ὰ]/ τὰν συμμαχίαν ἐς τὰμ μάχαν τ[ὰ]ν̣ π̣ ρ̣ [ὸς τοὺς νέους γεν]-/[ομένα]ν ἐν τᾶι πό[λει συνέ]βα** τινὰς τῶμ πολι[τᾶν καὶ τ]-/ῶν <ἄλ>λων τῶν συνε<λ>θόντων παρ’ ἁμίων ἐπὶ [τὰμ μά]-/χαν τραυματίας τε γενέσθαι καὶ πλείους ἐκ τ[ῶν]/ 10 τραυμάτων ἀρωστίαις οὐ ταῖς τυχούσαις ⟦...⟧ π[εριπε]-**/**σεῖν, Ἑρμίας ὑπάρχων ἀγαθὸς ἀνὴρ τότε τε πᾶσ[αν σ]-/πουδὰν ἐποήσατο ὑπὲρ ἁμίων καὶ διέσωσε αὐτο[ὺς ἐγ]**/**μεγάλων κινδύνων, ἔν τε τοῖς λοιποῖς ἀπροφα[σίστ]-/ως διετέλει συναντῶν τοῖς παρακαλοῦσι[ν αὐτό]- 15 ν, πάλιν τε **γενομένας μάχας περὶ Φαιστὸν** π[ολλ]-/ῶν τραυματιᾶν γενομένων κα<ὶ> ὡσαύτως πολλ[ῶν κι]-/νδυνευσάντων ἐν ταῖς ἀρωστίαις πᾶσαν [σπου]-/δὰν ἐν ταῖς θεραπείαις ποιούμενος διέ[σωσε αὐτοὺς]/έγ μεγάλων κινδύνων, ἔν τε τ̣ [οῖς λοιποῖς παρέχων]/ 20 [αὐτὸν πρόθ]υμον π[ρὸς τοὺς παρακαλοῦντας αὐτὸν]

### Polybius, 4, 53-4

[1] τὸ τέλος: κατὰ δὲ τὸν καιρὸν τοῦτον Κνώσιοι πρεσβεύσαντες πρὸς Ῥοδίους ἔπεισαν τάς τε μετὰ Πολεμοκλέους ναῦς καὶ τρία τῶν ἀφράκτων προσκατασπάσαντας αὐτοῖς ἀποστεῖλαι. [2] γενομένου δὲ τούτου, καὶ τῶν πλοίων ἀφικομένων εἰς τὴν Κρήτην, καὶ σχόντων ὑποψίαν τῶν Ἐλευθερναίων ὅτι τὸν πολίτην αὐτῶν Τίμαρχον οἱ περὶ τὸν Πολεμοκλῆ χαριζόμενοι τοῖς Κνωσίοις ἀνῃρήκασι, τὸ μὲν πρῶτον ῥύσια κατήγγειλαν τοῖς Ῥοδίοις, μετὰ δὲ ταῦτα πόλεμον ἐξήνεγκαν. [3] περιέπεσον δὲ καὶ Λύττιοι βραχὺ πρὸ τούτων τῶν καιρῶν ἀνηκέστῳ συμφορᾷ. καθόλου γὰρ τὰ κατὰ τὴν σύμπασαν Κρήτην ὑπῆρχεν ἐν τοιαύτῃ τινὶ τότε καταστάσει. [4] **Κνώσιοι συμφρονήσαντες Γορτυνίοις πᾶσαν ἐποιήσαντο τὴν Κρήτην ὑφ᾽ αὑτοὺς πλὴν τῆς Λυττίων πόλεως**: μόνης δὲ ταύτης ἀπειθούσης, ἐπεβάλοντο πολεμεῖν, σπεύδοντες αὐτὴν εἰς τέλος ἀνάστατον ποιῆσαι καὶ παραδείγματος καὶ φόβου χάριν τῶν ἄλλων Κρηταιέων.

[5] τὸ μὲν οὖν **πρῶτον ἐπολέμουν πάντες οἱ Κρηταιεῖς τοῖς Λυττίοις**: ἐγγενομένης δὲ φιλοτιμίας ἐκ τῶν τυχόντων, ὅπερ ἔθος ἐστὶ Κρησίν, **ἐστασίασαν πρὸς τοὺς ἄλλους** [6] καὶ Πολυρρήνιοι μὲν καὶ Κεραῗται καὶ Λαππαῖοι, πρὸς δὲ τούτοις Ὥριοι μετ᾽ Ἀρκάδων, ὁμοθυμαδὸν **ἀποστάντες τῆς τῶν Κνωσίων φιλίας**,[7] ἔγνωσαν τοῖς Λυττίοις συμμαχεῖν, **τῶν δὲ Γορτυνίων οἱ μὲν πρεσβύτεροι τὰ τῶν Κνωσίων, οἱ δὲ νεώτεροι τὰ τῶν Λυττίων αἱρούμενοι, διεστασίασαν πρὸς ἀλλήλους**.

[8] οἱ δὲ Κνώσιοι, παραδόξου γεγονότος αὐτοῖς τοῦ περὶ τοὺς συμμάχους κινήματος, ἐπισπῶνται χιλίους ἐξ Αἰτωλίας ἄνδρας κατὰ συμμαχίαν. [9] οὗ γενομένου παραυτίκα τῶν Γορτυνίων **οἱ πρεσβύτεροι καταλαμβανόμενοι τὴν ἄκραν** εἰσάγονται τούς τε Κνωσίους καὶ τοὺς Αἰτωλούς: καὶ τοὺς μὲν ἐξέβαλον, τοὺς δ᾽ **ἀπέκτειναν τῶν** [1**] νέων**, τὴν δὲ πόλιν ἐνεχείρισαν τοῖς Κνωσίοις. κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς Λυττίων ἐξωδευκότων εἰς τὴν πολεμίαν πανδημεί, συννοήσαντες οἱ Κνώσιοι τὸ γεγονὸς καταλαμβάνονται τὴν Λύττον, ἔρημον οὖσαν τῶν βοηθησόντων: [2] καὶ τὰ μὲν τέκνα καὶ τὰς γυναῖκας εἰς Κνωσὸν ἀπέπεμψαν, τὴν δὲ πόλιν ἐμπρήσαντες καὶ κατασκάψαντες καὶ λωβησάμενοι κατὰ πάντα τρόπον ἐπανῆλθον.

# Βιβλιογραφία


Chankowski, A. (2011), “Ideology of war and expansion; A study of the education of young men in Hellenistic gymnasia” in M. Champion – L. O’ Sullivan, *Cultural Perception of Violence in the Hellenistic World*, London/New York, 39-57.

D’Amore, L. (2007), “Ginnasio e difesa civica nelle poleis d’ Asie Minore (IV – I sec A.C.)”, *Revue des Etudes Anciennes*, Vol 109, 147-174.

Dreyer, B. (2004), “Die Neoi im hellenistischen Gymnasion”, in D. Kah – P. Scholtz (ed.), *Das hellenistische Gymnasion*, Berlin, 211-236.

Forbes, C. (1933), *Neoi: A Contribution to the Study of Greek Associations*, Middletown.

Hatzopoulos, M. B. (1996), *Macedonian Institutions under the Kings. I. A Historical and Epigraphic Study. II. Epigraphic Appendix*, Athens.

(2004), “La formation militaire dans les gymnases hellénistiques”, in D. Kah – P. Scholtz (ed.), *Das hellenistische Gymnasion*, Berlin, 91-96.

Kennell, N. (2000), “The Status of the Ephebarch”, in *Tyche*, Vol. 15, 103-108.

(2006), *Ephebeia: a register of Greek cities with citizen training systems in the Hellenistic and Roman periods*.

(2009), “The Greek Ephebate in the Roman Period”, in *The International Journal of the History of Sport*, Vol. 26
( II), 323-342.

(2013a), “Age-Class Societies in Ancient Greece?”, in *Ancient Society* Vol. 43, 1-73.

(2013b), “Who Were the Neoi?”, in P. Martzavou – N. Papazarkadas (ed.), *Epigraphical Approaches to the Post-Classical Polis. Fourth Century BC to Second Century AD*, Oxford, 217-232.

Papakonstantinou, Z. (2018), “Athletics, Memory and Community in Hellenistic and Roman Messene”, in *Bulletin of the Institute of Classical Studies*, Vol. 61 (1), 64-78.

van Bremen, R. (2013), “Neoi in the Hellenistic cities: age class, institution, association?”, in P. Fröhlich – P. Hamon (ed.), *Groupes et associations dans les cités grecques (IIIe siècle av. J.-C. - IIe siècle apr. J.-C.)*, Geneve.